Ακαδημία Αθηνών / Academy of Athens

*πρὸ τῶν* π ρ ά ξ ε ω ν *ἢ μετανοεῖν* 81 *τὸ ἀεὶ μέλλειν ἀτελέας ποιεῖ τὰς* π ρ ή ξ ι α ς 177 *οὔτε λόγος ἐσθλὸς φαύλην* π ρ ῆ ξ ι ν *ἀμαυρίσκει οὔτε* π ρ ῆ ξ ι ς *ἀγαθὴ λόγου βλασφημίῃ λυμαίνεται* 269 *τόλμα* π ρ ή ξ ι ο ς *ἀρχή, τύχη δὲ τέλεος κυρίη*. Πρβλ. *πρᾶγμα, ἔργον*.

**πραπίδες 1.** Φρένες/νοῦς, mind, Ἐμπεδοκλῆς 110.1 *εἰ γάρ κέν σφ' ἀδινῇσιν ὑπὸ* π ρ α π ί δ ε σ σ ι ν *ἐρείσας εὐμενέως καθαρῇσιν ἐποπτεύσῃς μελέτῃσιν* 129.4 *ὁππότε γὰρ πάσῃσιν ὀρέξαιτο* π ρ α π ί δ ε σ σ ι ν. Πρβλ. *φρὴν* **2.** Νοήματα/νοημοσύνη, thoughts/intelligence, Ἐμπεδοκλῆς 129.2 *ὃς δὴ μήκιστον* π ρ α π ί δ ω ν *ἐκτήσατο πλοῦτον* 132.1 *ὄλβιος, ὃς θείων* π ρ α π ί δ ω ν *ἐκτήσατο πλοῦτον*.

**πράσσειν** (τύπ. *πρήσσειν*). Πράττω/ἐπιτελῶ, do/manage, Ξενοφάνης 1.16 *σπείσαντας δὲ καὶ εὐξαμένους τὰ δίκαια δύνασθαι* π ρ ή σ σ ε ι ν Δημόκριτος 2 *Τριτογένεια ... γίνεται δὲ ἐκ τοῦ φρονεῖν τρία ταῦτα ... τὸ εὖ λογίζεσθαι, τὸ εὖ λέγειν καὶ τὸ* π ρ ά τ τ ε ι ν *ἃ δεῖ* 3 *τὸν εὐθυμεῖσθαι μέλλοντα χρὴ μὴ πολλὰ* π ρ ή σ σ ε ι ν, *μήτε ἰδίῃ μήτε ξυνῇ, μηδὲ ἅσσ' ἂν* π ρ ά σ σ ῃ, *ὑπέρ τε δύναμιν αἱρεῖσθαι τὴν ἑωυτοῦ καὶ φύσιν* 68 *δόκιμος ἀνὴρ καὶ ἀδόκιμος οὐκ ἐξ ὧν* π ρ ά σ σ ε ι *μόνον, ἀλλὰ καὶ ἐξ ὧν βούλεται* 191.17 *δι' ἐπιθυμίην τοῦ τι* π ρ ή σ σ ε ι ν *ἀνήκεστοι ὧν νόμοι κωλύουσιν* 234.3 *ἀκρασίῃ δὲ τἀναντία* π ρ ή σ σ ο ν τ ε ς *αὐτοὶ προδόται τῆς ὑγείης τῇσιν ἐπιθυμίῃσιν γίνονται* 253 *τοῖς χρηστοῖσιν οὐ συμφέρον ἀμελέοντας τῶν ἑωυτῶν ἄλλα* π ρ ή σ σ ε ι ν· *τὰ γὰρ ἴδια κακῶς ἔσχεν*. || Ἐμπεδοκλῆς 113.1 *ἀλλὰ τί τοῖσδ' ἐπίκειμ' ὡσεὶ μέγα χρῆμά τι* π ρ ά σ σ ω ν. || **βέλτιον πρήσσειν - φαυλότερον πρήσσειν.** Εἶμαι σὲ καλύτερη - χειρότερη κατάσταση, be in a better - worse condition, Δημόκριτος 191.20-21 *παραβάλλοντα τὸν ἑαυτοῦ βίον πρὸς τὸν τῶν* φ α υ λ ό τ ε ρ ο ν π ρ η σ σ ό ν τ ω ν *καὶ μακαρίζειν ἑωυτὸν ἐνθυμεύμενον ἃ πάσχουσιν, ὁκόσῳ αὐτέων* β έ λ τ ι ο ν π ρ ή σ σ ε ι *τε καὶ διάγει*.

**πρεσβύτης** (συνών. *γέρων*, ἀντίθ. *νέος*). Πρεσβύτης, elder/old man, Δημόκριτος 5 *ἐν τῷ Μικρῷ διακόσμῳ, νέος κατὰ* π ρ ε σ β ύ τ η ν *'Αναξαγόραν*.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ